## † Τῇ πρώτῃ Κυριακῇ τῶν Νηστειῶν·

## Ἀνάμνησιν ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων.




Ἑκατὸν ἔτη καὶ ἐπέκεινα κατετάραξε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ὁ διωγμὸς τῶν κακοδόξων εἰκονομάχων, ὧν πρῶτος ὑπῆρξεν ὁ αὐτοκράτωρ Λέων ὁ Ἴσαυρος, ἔσχατος δὲ ὁ Θεόφιλος, ὁ ἀνὴρ τῆς ἁγίας Θεοδώρας, ἥτις μετὰ τὸν θάνατον αὐτοῦ, ἐστερέωσε πάλιν τὴν ὀρθοδοξίαν μετὰ Μεθοδίου τοῦ πατριάρχου. Αὕτη ἡ ἀείμνηστος βασιλὶς ἐκβοήσασα παῤῥησίᾳ τὰ ἅγια ταῦτα λόγια: Εἴ τις τὰς ἁγίας εἰκόνας οὐ προσκυνεῖ καὶ ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς θεούς, ἀλλ᾽ ὡς εἰκόνας ἀρχετύπων διὰ τὸν πόθον, εἴη ἀνάθεμα. εἶτα ἐζήτησε παρὰ Θεοῦ τοῦ ἀνδρὸς τὴν συγχώρησιν διὰ κοινῆς νηστείας καὶ δεήσεως καθ᾽ ὅλην τὴν πρώτην ἑβδομάδα τῆς Τεσσαρακοστῆς· καὶ μετὰ ταῦτα, κατὰ τὴν παροῦσαν Κυριακὴν λιτανεύσαντες καὶ αὐτὴ καὶ ὁ υἱὸς αὐτῆς Μιχαὴλ ὁ αὐτοκράτωρ μετὰ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ ἀνεστήλωσαν τὰς ἁγίας εἰκόνας καὶ ἐστόλισαν πάλιν δι᾽ αὐτῶν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν. Τοῦ ἁγίου τούτου ἔργου τὴν ἀνάμνησιν ἑορτάζομεν σήμερον οἱ ὀρθόδοξοι πάντες καὶ δι᾽ αὐτὸ τοῦτο τὴν λαμπρὰν καὶ σεβασμίαν ταύτην ἡμέραν ὀνομάζομεν Κυριακὴν τῆς Ὀρθοδοξίας.

### Ἀπολυτίκιον Ἀναστάσιμον· καὶ τὸ ἑπόμενον.

Δόξα... Ἦχος β´.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι· Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ νῦν... Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν, Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Κοντάκιον. Ἦχος πλ. δ´. Αὐτόμελον.

Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρός, ἐκ σοῦ Θεοτόκε περιεγράφη σαρκούμενος, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν. Ἀλλ᾽ ὁμολογοῦντες τὴν σωτηρίαν, ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.